11 [1]Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς
2 κέδρους σου· [2]ὀλολυξάτω πίτυς, διότι πέπτωκεν κέδρος, ὅτι με-
γάλως μεγιστᾶνες ἐταλαιπώρησαν· ὀλολύξατε, δρύες τῆς Βασανίτι-
3 δος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. [3]φωνὴ θρηνούντων
ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὠρυο-
μένων λεόντων, ὅτι τεταλαιπώρηκεν τὸ φρύαγμα τοῦ Ιορδάνου.
4 [4]τάδε λέγει κύριος παντοκράτωρ Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς,
5 [5]ἃ οἱ κτησάμενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο, καὶ οἱ πωλοῦντες
αὐτὰ ἔλεγον Εὐλογητὸς κύριος καὶ πεπλουτήκαμεν, καὶ οἱ ποιμένες
6 αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ᾽ αὐτοῖς. [6]διὰ τοῦτο οὐ φείσομαι οὐκ-
έτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει κύριος, καὶ ἰδοὺ ἐγὼ
παραδίδωμι τοὺς ἀνθρώπους ἕκαστον εἰς χεῖρας τοῦ πλησίον αὐτοῦ
καὶ εἰς χεῖρας βασιλέως αὐτοῦ, καὶ κατακόψουσιν τὴν γῆν, καὶ οὐ
7 μὴ ἐξέλωμαι ἐκ χειρὸς αὐτῶν. [7]καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφα-
γῆς εἰς τὴν Χαναανῖτιν· καὶ λήμψομαι ἐμαυτῷ δύο ῥάβδους —
τὴν μίαν ἐκάλεσα Κάλλος καὶ τὴν ἑτέραν ἐκάλεσα Σχοίνισμα — καὶ
8 ποιμανῶ τὰ πρόβατα. [8]καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί,
καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ᾽ αὐτούς, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν
9 ἐπωρύοντο ἐπ᾽ ἐμέ. [9]καὶ εἶπα Οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῇσκον
ἀποθνῃσκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα κατ-
10 εσθιέτωσαν ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. [10]καὶ λήμψομαι
τὴν ῥάβδον μου τὴν καλὴν καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι
11 τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς· [11]καὶ
διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι
12 τὰ πρόβατα τὰ φυλασσόμενα, διότι λόγος κυρίου ἐστίν. [12]καὶ ἐρῶ
πρὸς αὐτούς Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστιν, δότε στήσαντες τὸν
μισθόν μου ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα
13 ἀργυροῦς. [13]καὶ εἶπεν κύριος πρός με Κάθες αὐτοὺς εἰς τὸ χωνευ-
τήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ
αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς καὶ ἐνέβαλον αὐτοὺς
14 εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον. [14]καὶ ἀπέρριψα τὴν ῥά-
βδον τὴν δευτέραν, τὸ Σχοίνισμα, τοῦ διασκεδάσαι τὴν κατάσχε-
σιν ἀνὰ μέσον Ιουδα καὶ ἀνὰ μέσον τοῦ Ισραηλ.

**11** 6 κυριος] + παντοκρατωρ A† | χειρας bis] $1^0$ -ρα AC, $2^0$ -ρα A† | εξελουμαι A† || 7 την χαν.] γην χ. S†, την γην χαναάν *L* | χαναανιτιν] α $3^0$ > SA | μιαν] pr. μεν B† || 8 ψυχαι] χ(ε)ιρες S*† | επωρυοντο] επορυοντο S†, επορευοντο $C^p$: cf. Ion. 1 11 || 9 καταλοιπα] κατα > BS† || 10 λημψονται B† | αυτην > B*† || 11 διασκεδασθησονται A† | τα $2^0$ > S*W† | φυλασσ. AQW] + μοι BS*LC* || 12 στησαντες AQW] > BS*LC* || 13 καθες] καταθες S*† | σκεψαι] -ψομαι BS*†, -ψω V*†; + αυτο A | δοκιμ(ε)ιον $QS^cW$*L* | εδοκιμασθην] ν > $B^c$† | τον > A† || 14 κατασχεσιν BS*W†] διαθηκην rel. (+ μου A) | του ult. AQW] > BS*LC*